UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

XXIX

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

## ΦΙΛΟΠΟΝΗΡΙΑΣ ΚΘ′ XXIX

Ἔστι δὲ ἡ φιλοπονηρία ἐπιθυμία κακίας, ὁ δὲ φιλοπόνηρός 1
ἐστι τοιόσδε τις, οἷος ἐντυγχάνειν τοῖς ἡττημένοις καὶ 2
δημοσίους ἀγῶνας ὠφληκόσι καὶ ὑπολαμβάνειν, ἐὰν τούτοις
χρῆται, ἐμπειρότερος γενήσεσθαι καὶ φοβερώτερος. καὶ ἐπὶ 3
τοῖς χρηστοῖς εἰπεῖν· ‘ὡς φαίνεται,’ καὶ φῆσαι, ὡς οὐδείς
ἐστι χρηστός, καὶ ὁμοίους πάντας εἶναι, καὶ ἐπισκῶψαι δὲ
‘ὡς χρηστός ἐστι’. καὶ τὸν πονηρὸν δὲ εἰπεῖν ἐλεύθερον, 4
ἐὰν βούληταί τις εἰς π⟨εῖραν ἐλθεῖν⟩, καὶ τὰ μὲν ἄλλα
ὁμολογεῖν ἀληθῆ ὑπὲρ αὐτοῦ λέγεσθαι ὑπὸ τῶν ἀνθρώπων,
ἔνια δὲ ἀγνοεῖν· φῆσαι γὰρ αὐτὸν εὐφυῆ καὶ φιλέταιρον καὶ
ἐπιδέξιον· καὶ διατείνεσθαι δὲ ὑπὲρ αὐτοῦ, ὡς οὐκ ἐντετύχηκεν
ἀνθρώπῳ ἱκανωτέρῳ. καὶ εὔνους δὲ εἶναι τῷ ἐν ἐκκλησίᾳ 5
λέγοντι ἢ ἐπὶ δικαστηρίῳ κρινομένῳ· καὶ πρὸς ⟨τοὺς⟩ καθημένους δὲ εἰπεῖν δεινὸς ὡς ‘οὐ δεῖ τὸν ἄνδρα, ἀλλὰ τὸ
πρᾶγμα κρίνεσθαι’. καὶ φῆσαι αὐτὸν κύνα εἶναι τοῦ δήμου·
φυλάττειν γὰρ αὐτὸν ⟨πρὸς⟩ τοὺς ἀδικοῦντας· καὶ εἰπεῖν, ὡς
‘οὐχ ἕξομεν τοὺς ὑπὲρ τῶν κοινῶν συναχθεσθησομένους, ἂν
τοὺς τοιούτους προώμεθα’. δεινὸς δὲ καὶ προστατῆσαι 6
φαύλων καὶ συνεδρεῦσαι ἐν δικαστηρίοις ἐπὶ πονηροῖς πράγμασιν καὶ κρίσιν κρίνων ἐκδέχεσθαι τὰ ὑπὸ τῶν ἀντιδίκων λεγόμενα ἐπὶ τὸ χεῖρον.

XXIX. 1 tit. *φιλοπονίας* (ut *φιλοπονία, φιλόπονος* vv. 1. 23) V : corr. in indice M 3 *ἡττημένοις καὶ* del. Cobet (at cf. i 2): *ἠτιμωμένοις* Unger 4 *ὠφεληκόσι* V 6 *φαίνεται* scripsi : *γίνεται* V : *γε λέγεται* Unger *φῆσαι* Schneider : *φῇ* (i.e. *φησὶν*) V 7 *ἐπισκῆψαι* V : corr. Nast 9 *π⟨εῖραν ἐλθεῖν⟩* Naber : *π*, spatio quinque litt. relicto V 10 an *ὁμολογῆσαι*? 11 *ἀγνοεῖν* corrupte V : *ἀγνοεῖσθαι* Schneider *φῆσαι* V : *εἶναι* probabiliter Schneider; *φῆσαι* emendata lectio videtur ad v. 6 pertinens. *ἀγνοεῖν φῆσαι· ⟨εἶναι⟩ γὰρ* Foss 13 *τῷ*] *αὐτῷ* bene Meier 14 *λέγοντι*] *ἐλεγχθέντι* Orelli : *κινδυνεύοντι* Meier : *λόγον ⟨διδόν⟩τι* conieci *δικαστηρίου* Meier *πρὸς ⟨τοὺς⟩ καθημένους* Meier : *προσκαθήμενος* V 15 *ὡς νῦν δεῖ τὸν ἄνδρα ἀλλὰ ⟨μὴ⟩ τὸ πρᾶγμα* Unger 17 *φυλάττεσθαι* Wendland: *ὑλακτεῖν* Contos *πρὸς* addidi 18 *ἕξομαι*, ex *ἔχομαι* ut vid., corr. V 20 *συνηγορῆσαι* scite Immisch *πράγμασιν καὶ*, sed *νκ* maiuscula *κ* obducta deletae, sic V

7 Καὶ τὸ ὅλον ἡ φιλοπονηρία ἀδελφή ἐστι τῆς πονηρίας, καὶ ἀληθές ἐστι τὸ τῆς παροιμίας τὸ ὅμοιον πρὸς τὸ ὅμοιον πορεύεσθαι.

## XXX ΑΙΣΧΡΟΚΕΡΔΕΙΑΣ Λʹ

1 Ἡ δὲ αἰσχροκέρδειά ἐστι ἐπιθυμία κέρδους αἰσχροῦ, ἔστι
2 δὲ τοιοῦτος ὁ αἰσχροκερδής, οἷος ἑστιῶν ἄρτους ἱκανοὺς μὴ
3 παραθεῖναι. καὶ δανείσασθαι παρὰ ξένου παρ' αὑτῷ κατα-
4 λύοντος. καὶ διανέμων μερίδας φῆσαι δίκαιον εἶναι διμοιρίαν
5 τῷ διανέμοντι δίδοσθαι καὶ εὐθὺς αὑτῷ νεῖμαι. καὶ οἰνο-
6 πωλῶν κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι. καὶ ἐπὶ
θέαν τηνικάδε πορεύεσθαι ἄγων τοὺς υἱεῖς, ἡνίκα προῖκ'
7 ἀφιᾶσιν οἱ θεατρῶναι. καὶ ἀποδημῶν δημοσίᾳ τὸ μὲν ἐκ
τῆς πόλεως ἐφόδιον οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμ-
πρεσβευτῶν δανείζεσθαι· καὶ τῷ ἀκολούθῳ ἐπιθεῖναι μεῖζον
φορτίον ἢ δύναται φέρειν καὶ ἐλάχιστα ἐπιτήδεια τῶν ἄλλων
παρέχειν· καὶ τῶν ξενίων τὸ μέρος τὸ αὑτοῦ ἀπαιτήσας
8 ἀποδόσθαι· καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ καὶ εἰπών·

---

XXX. 7 M (cf. c. xi) : *καὶ ἀποδημοῦντα δημοσίᾳ τὸ ἐκ τῆς πόλεως ἐφόδιον καταλιπεῖν οἴκοι, παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείζεσθαι καὶ ὅσα παρόμοια.*

---

23-25 excerptoris epilogus 23 ἡ superducta φ littera delevit V φιλοπονία V
XXX 2 ἐπιθυμία Cobet : περιουσία V (ΕΘΥΜΙΑ = ΠΟΥΣΙΑ, with Π and Ε printed above) κέρδους αἰσχροῦ, post κερ longa hasta quasi ι sed flexa, tum acutus et supra (in ras. ut vid.) δους; αἰσ in ras. esse fertur V ὁ δὲ αἰσχροκερδὴς τοιοῦτός τις οἷος Hanow 3 ἑστιῶν Corais : ἐσθίων V 4 αὐτῷ V 5 διμοιρίαν Petersen : διμοίρῳ V : δίμοιρον (significat *bessem*) Amadutius 6 αὐτῷ V καὶ οἰνοπωλῶν ... § 16 λάβωσι extremo cap. xi falso adnexa servarunt A B (cf. M) 7 ἀποδόσθαι (sed in A ex ἀποδιδόσθαι (sic) deletis litteris δι restitutum) A B V 8 τηνικάδε Needham : ἡνίκ' ἂν δέῃ sic A B : τηνικαῦτα V ἄγων V : ἀπιὼν A B υἱεῖς A B : υἱοὺς V προῖκ' ἀφιᾶσιν] προῖκα ἀφιᾶσιν A B : προϊκαφασὶν V 9 οἱ θεατρῶναι A B : ἐπὶ θεάτρων V 10 συμπρεσβευτῶν A B (cf. M) : συμπρεσβευόντων V 11 δανείζεσθαι (*plus semel*, cf. παρέχειν v. 13) A B : δανείσασθαι V ἐπιθεῖναι post φορτίον transp. V 12 τῶν ἄλλων] ἄλλων V : τῶν ἱκανῶν A B 13 παρέχειν V : om. A B καὶ ἀπὸ τῶν ξενίων A B : καὶ ξένον V τὸ μέρος A et iteratum B : δὲ μέρος V αὐτοῦ A B V 14 εἰπὼν sic A B : εἴπερ (compend.) cruce adpicta V